# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΣΑΜΨΩΝ ΤΟΝ ΞΕΝΟΔΟΧΟΝ



## Παρακλητικος κανονας εισ τον οσιον σαμψων τον ξενοδοχον

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου. Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με

ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου. Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

Ἦχος δ΄.Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τοῖς ἐξαιτοῦσι τὴν θερμήν σου ξενίαν, καὶ ἐκζητοῦσι ἐν Χριστῷ θεραπείαν, σώζεις ἀεὶ ἐκ κινδύνων καὶ θλίψεων, θείῳ σου χαρίσματι Σαμψὼν μάκαρ θεράπον, ἰατρὸς ὡς πρότυπον καὶ χαρὰ θλιβομένων, καὶ πενομένων φιλος ἀληθὴς, οἰκοδεσπότης τῆς Χάριτος ἔμπλεως.

Δόξα. Τὸ αὐτό. Ἢ τὸ ἀπολυτίκιον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.(Γερασίμου Μικραγιαννανίτου)

Ὁ φέρων τὴν μίμησιν τῶν τοῦ Θεοῦ οἰκτιρμῶν, ἐνθέου χρηστότητος ἀναβλυστάνεις κρουνούς, Σαμψὼν ἱερώτατε· σὺ γὰρ θεομιμήτῳ, ἐλλαμφθεὶς συμπαθείᾳ, ὤφθης τῶν τεθλιμμένων, καὶ πασχόντων ἀκέστωρ, παρέχων ἑνὶ ἑκάστῳ ῥῶσιν καὶ ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων, τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) ψαλμός.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν. Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ὠδὴ α'. Ὑγρὰν διοδεύσας.

Ἐκ βρέφους ἀνθήσας ὡς εὐθαλὲς τῶν ἐν τῷ λειμῶνι θεῖον βλάστημα ἀρετῶν, ἤδη προσενήνοχας Κυρίῳ καρπούς ἀξίους, Σαμψών, ἁγιότητος.

Τῆς φιλανθρωπίας ἐν τῇ ψυχῇ, τὸν ἄφθονον πλοῦτον ἔχων, πρόνοιαν ἐκ Θεοῦ, οἶκος εὐποιΐας ἀνεδείχθης καὶ ἰατρεῖον αἰτούντων τὴν ἴασιν.

Ἐλαίῳ λαμπάδα τὴν τῆς ψυχῆς, κοσμήσας ἐνθέως δόξης τίμημα ἐκζητῶν, ἤχθης, Σαμψών, εἰς τὸν νυμφῶνα, τὸν τοῦ Χριστοῦ φωτεινὸν καὶ ποθούμενον.

Θεοτοκίον.

Γαλήνην σε ἔχοντες οἱ πιστοί, τοῦ Σαμψὼν πρεσβείαις καταφεύγουσι σῇ στοργῇ, ὑγείαν καὶ σκέπην ἐκζητοῦντες, παραμυθίαν καὶ λύσιν ἐν θλίψεσι.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἀκατάλυτον πόθων τὴν σὴν σκηνὴν ὅσιε, τῆς ἐν οὐρανῷ εὐποιΐας, στήριξον χάριτι, καὶ ὡς φιλάνθρωπος νοῦς, καὶ ἰατὴρ παθημάτων, τοῖς πιστοῖς βοήθειαν πᾶσι χορήγησον.

Τῶν δακρύων σου ὄμβροις καὶ ὀχετοῖς, ὅσιε, ῥείθροις οἰκτιρμῶν καὶ ἐλέους

πάντας κατάρδευε, εἰς τὸν ψυχῶν δροσισμὸν τῶν δεομένων ἐνθέως, ὧν, Σαμψών, τὸν καύσωνα νόσων κατάσβεσον.

Τὸν Χριστὸν ἀεὶ ἔχων, ἐν τῇ ψυχῇ  ἔνοικον, καὶ σοῦ τῶν χαρίτων ἀκτῖνας πᾶσι διηύγασας, δοῦναι, Σαμψὼν, ἱλασμὸν καὶ ἀλγηδόνων θωπείαν, τὸν Θεὸν ἱκέτευε θεῖε ἀνάργυρε.

Θεοτοκίον.

Ἐκ κοιλίας ἀμώμου, σωματωθεὶς Πάναγνε, ὁ δοὺς τοῖς ἀνθρώποις τὸ θεῖον, ἄμετρον ἔλεος, δι'ἀγαθότητα, ἐκ τῆς λοχείας σου μῆτερ, τῶν πιστῶν ἀντίληψις καὶ καταφύγιον.

Διάσωσον τῇ σῇ ξενίᾳ ἀνάργυρε ξενοδόχε, πενομένους καὶ ἀσθενεῖς κινδύνων καὶ θλίψεων, ὡς ἄριστος κτήτωρ τῆς ἀπαθείας.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις παρὰ τοῦ ἱερέως καὶ τὸ

Κάθισμα.

Ἦχος β´. Πρεσβεία θερμή.

Ξενῶνα Χριστοῦ ἀρτίως ὑπηρέτησας, προστάτης θερμὸς νοσούντων καθιστάμενος, καὶ ὀφθεὶς οὐράνιος, ξενοδόχε ὅσιε, ἄγγελος· διό, Σαμψών, κραυγάζομεν πιστῶς· Χριστῷ τῷ Σωτῆρι Πάτερ πρέσβευε.

Ὠδὴ δ´. Εἰσακήκοα Κύριε.

Ἀπαθείᾳ τὸν βίον σου καὶ τῇ καθαρότητι κατεκόσμησας· διὰ τοῦτο σέ, Σαμψών, ὁ Χριστὸς τῶν χαρίτων αἴγλῃ κατελάμπρυνεν.

Εὐποιΐας τὸν ἔλεον, πάτερ, ἐπιχέων ἀφθόνως ἅπασι καὶ προθύμως μιμητὴς τοῦ Χριστοῦ ἀνεδείχθης, Σαμψὼν παναοίδιμε.

Συνεργοῦντα τὸν Κύριον ἔχων ἐν βουλεύμασι καὶ ἐν πράξεσιν, εὐλογίᾳ τῇ τῶν ἔργων, Σαμψών, βεβαιοῖς τὴν χάριν τοῦ συμπράξαντος.

Θεοτοκίον

Ὡς πηγὴ ἀνεξάντλητος Κεχαριτωμένη τῶν ἰάσεων, ταῖς πρεσβείαις σου χαρὰν τοῖς πιστοῖς ὁ Υἱός σου ἔχρισε πανάχραντε.

ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.

Σὺ ὡς λειτουργός, καθαρώτατος προσήγγισας αἰτουμένους σὴν βοήθειαν, Σαμψών, ἐγκρατείᾳ θῦμα ἄμωμον γενόμενος.

Σὺ ἐν τῇ νυκτί, τῆς τοῦ βίου φαεινότατος, τοῦ θανάτου ἀποτρέπεις τὸ κακόν, καὶ τῶν νόσων ἀπαλλάττεις τοὺς καλοῦντάς σε.

Οἶκον σεαυτόν, ἀρετῶν, Σαμψών, δειμάμενος, ἐπεδόμησας δι΄ἔλεον Χριστοῦ, ὡς φιλάνθρωπον ὑγείας καταγώγιον.

Θεοτοκίον

Ῥώμην κατ'ἐχθροῦ, ἀσθενοῦσι παρεχώρησας, Παναγία, δυσμενοῦς και πονηροῦ, τοῦ Υἱοῦ σου συνεργείᾳ καὶ θελήματι.

ᾨδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Ἐν ζάλῃ βιοτικῇ ἀνεφάνης, ἀλλ' ἀκύμαντος ψυχὴ ἀνεδείχθης, τῶν ἀρετῶν τοὺς καρποὺς ἐδωρήσω καὶ τοῦ ἐλέους σου πλοῦτον ἐχάρισας, ὅτι τὸ σκάφος ἀσθενῶν εἰς λιμένας σου θείους καθώρμισας.

Τοῦ Πνεύματος ἀρδευθεὶς, Σαμψών, ἔργοις, τὴν πορείαν σου καθώρισας πλήρως, φιλανθρωπίᾳ λυτρούμενος πλῆθος, τὸ ἐν τῷ οἴκῳ σου πίστει θαλπόμενον, οἳ ἀνυμνοῦσι τὸν Θεόν, τὸν ταχέως παρέχοντα ἔλεος.

Τὴν ἴασιν ἀναργύρως ἐδίδου, ἐν συμφοραῖς καὶ νόσοις καὶ ἀνάγκαις, καὶ τῇ πρεσβείᾳ σου πίστει καὶ σκέπῃ , Σαμψὼν, προστρέχεις ὡς δρόσος ἐν καύσωνι, τοῖς ἐν κινδύνοις τῶν παθῶν δεομένοις τοῦ σώζεσθαι χάριτι.

Θεοτοκίον.

Γνωρίσαντες διὰ σοῦ τὸν Σωτῆρα, καταφυγὴν  καὶ σκέπην σε τοῦ κόσμου, δεδοξασμένη οὐκ ἔχομεν ἑτέρα, πυρὸς κολάσεως λύτρωσαι Ἄχραντε, ἐν περιστάσεσι βροτῶν προστασία γενοῦ καὶ κραταίωμα.

Διάσωσον τῇ σῇ ξενίᾳ ἀνάργυρε ξενοδόχε, πενομένους καὶ ἀσθενεῖς κινδύνων καὶ θλίψεων ὡς ἄριστος κτήτωρ τῆς ἀπαθείας.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις παρὰ τοῦ ἱερέως καὶ τὸ

Κοντάκιον.

Ἦχος β´. Τοῖς τῶν αἱμάτων σου.

Τῇ φιλανθρώπῳ, Σαμψὼν, ἐπινεύσει σου, Χριστὸν ἐμιμήσω μακάριε· πτωχῶν καὶ νοσούντων τὸ ὅρμημα, Χριστοῦ ἐγένου ἐν γῇ τὸ ὁμοίωμα, πιστῶν προσφυγὴ καὶ ἀσφάλεια.

Προκείμενον

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

# Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην (ιε´ 17-27, ιστ´ 1-2).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε, ὅτι ἐμὲ πρῶτος ὑμῶν μεμίσηκεν. Εἰ ἐκ σοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου, οὗ ἐγὼ εἶπον ὑμῖν. Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν, καὶ τὸν Πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἅ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι, καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν Πατέρα μου. Ἀλλ᾽ ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν. Ὅτι ἐμίσησάν με δωρεάν. Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὅν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. Καὶ ὑμεῖς δὲ μαρτυρεῖτε ὅτι ἀπ᾽ ἀρχῆς μετ᾽ ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ᾽ ἔρχεται ὥρα,

ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

Δόξα.

Ταῖς τοῦ σοῦ Ὁσίου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἦχος β´. Ὅλην ἀποθέμενοι.

Βίον τὸν φιλάνθρωπον, καὶ ταπεινὸν διανύσας, τῆς ξενίας καύχημα ἠξιώθης Πάτερ βραβείου Χάριτος· καὶ χαρὰν κρείττονα τοῖς πτωχοῖς ἐδίδου τῇ ἀσκήσει ἣν ἀνέλαβες ἵνα τοὺς πάσχοντας πάντας προστατεύῃς ἐν οἴκῳ σου, ἀστέγοις σὺν τοῖς πένησιν τὴν εὐεργεσίαν ἐξέτεινας· Οὕτω τῇ ἀγάπῃ ἣν ἔδωκας, Σαμψών, τοῖς ἀδελφοῖς, ὑμνολογεῖται ὁ Κύριος, διὰ τὸ μέγα του ἔλεος.

Ὠδὴ ζ´ Οἱ ἐκ τῆς Ἰουδαίας.

Τὸν ἀκένωτον πλοῦτον, ἐν ψυχῇ θησαυρίσας, τὸ θεῖον ἔλεος, ἀφθόνως μετὰ δόξης, διένειμας ἀνθρώποις τοῖς κραυγάζουσι πάντοτε· «ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ».

Ἐκμοχλεύων τὰ πάθη,τῆς ψυχῆς ἐγκρατείᾳ, Σαμψὼν ἀοίδιμε, ἐν ταύτῃ ἀπαθείας ἐφύτευσας στελέχη ἐκβοῶν ἐκ καρδίας σου· «ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ».

Τὸν ἐπίκηρον πλοῦτον αἰωνίων εἰργάσω, Σαμψὼν, ἐμπόρευμα, καὶ ὄντως ἀκηράτων, καὶ θείων ἀγαθῶν σου, ἀναμέλπων μακάριε· «ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ».

Θεοτοκίον

Ἱλασμόν τῶν πταισμάτων ἐξαιτοῦμεν Παρθένε, καὶ ἱκετεύομεν, Σαμψὼν τῇ συνεργείᾳ, Υἱοῦ σου ἐνεργείᾳ οἱ πιστῶς ἐκβοῶντές σοι· «χαῖρε Παρθένε ἁγνή,

Πανύμνητε Μαρία».

ᾨδὴ η΄. Τὸν βασιλέα.

Τὸν βασιλέα τῶν οὐρανῶν ὑπεδέξω, τῇ δοχῇ, Σαμψών, τῶν ἀσθενούντων, σὲ ἐν οὐρανίοις αὐλαῖς κατασκηνοῦντα.

Ἐπὶ τὴν πέτραν τὴν ἀρραγῆ τῆς ἐλπίδος, τοῦ Χριστοῦ τὰς βάσεις ἡμῖν δίδου, Σαμψὼν ὡς ἐπερείσας, οὐδόλως ἐσαλεύθης.

Ἐν τῇ ψυχῇ σου τὸν νοητὸν θησαυρίσας, θεοφόρε πλοῦτον τὸν παρόντα, πᾶσι τοῖς αἰτοῦσι διάνεμε ἀφθόνως.

Θεοτοκίον

Καθυπουργοῦσα τῷ Θεῷ Λόγῳ Παρθένε, τὰ αἰτήματα ἡμῶν διαβιβάζεις, πρέσβευε ὡς μήτηρ καὶ πάντων προστασία.

ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.

Πληρώσας εὐποιΐας, κρατῆρα ξενοδόχε, Σαμψών, διψῶντας ἀφθόνως ἐπότισας, καὶ τὴν ὑγείαν παράσχου πᾶσι τοῖς χρήζουσι.

Χριστὸν ἐν τῇ καρδίᾳ ἔχων ενοικοῦντα, τὴν τῶν παρόντων ἀπώσω προσπάθειαν, τοὺς σὲ τιμῶντας ἀξίους ποίησον πίστεως.

Δικαίων ἐν χορείαις, καὶ σκηναῖς ὁσίων ἐγκαταπαύσας, Σαμψών, παμμακάριστε,ὑπὲρ ἡμῶν τὸν Δεσπότην Χριστὸν ἱκέτευε.

Θεοτοκίον.

Ὑμνῆσαι Θεοτόκε, ἐν καθαρᾷ καρδίᾳ, τὸν σαρκωθέντα ἐκ σοῦ ἱκετεύουσα, σὲ ἀσιγήτως δοξάζειν ἡμᾶς ἀξίωσον.

Καὶ εὐθύς.

Ἄξιον ἐστιν ὡς ἀληθῶς μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον Σὲ μεγαλύνομεν.

Καὶ τὰ Μεγαλυνάρια.

Χαίροις ὁ πλουτήσας δι'ἀρετῶν, καὶ δεχθεὶς ἐν οἴκῳ τοὺς ἐν θλίψεσι ἀδελφούς, τῆς φιλανθρωπίας τὸ πρότυπον το θεῖον, Σαμψών, ἐχαριτώθης ποιῶν τὰ βέλτιστα.

Πλούτῳ ἀπαθείας καθοπλισθείς, πᾶσι τοῖς ἱκέταις θεραπείας ἐπιτελεῖς, σὲ παρακαλοῦμεν, Σαμψών, καθικετεύειν, Χριστόν ἡμᾶς ῥυσθῆναι πάσης κακώσεως.

Κατατρυχομένων ὁ ἀῤῥωγός,πάντων τῶν πενήτων ὁ προστάτης καὶ ἰατρός, χαῖρε ξενοδόχων ἀγλάϊσμα καὶ κλέος, Σαμψών, τῆς διακονίας τὸ μέγα τάλαντον.

Ῥῦσαι ἐκ κινδύνων καὶ πειρασμῶν, τοὺς καταφυγόντας τῇ προνοίᾳ σου ἀδελφούς, πάσης τοῦ βελίαρ κακίστης ἐπηρείας, Σαμψών, τῇ σῇ πρεσβείᾳ Χριστῷ ἀπάλλαξον.

Χαίροις ἀσθενούντων ὁ ἰατρός, χαίροις θλιβομένων ὁ θερμότατος ἀρωγός, χαίροις τῶν πενήτων καὶ ξένων ἀντιλήπτωρ, Σαμψών, Χριστοῦ θεράπον, ἀξιοθαύμαστε.

Ἴασιν τοῦ σώματος καὶ ψυχῆς, δίδου ἡμῖν Πάτερ τῶν ζητούντων σὴν συνδρομήν, δέξαι τὰς αἰτήσεις ἡμῶν τῶν ἀσθενούντων, Σαμψών, παρακαλοῦμεν καὶ ἱκετεύομεν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε. (Γερασίμου Μικραγιαννανίτου).

Ὁ φέρων τὴν μίμησιν τῶν τοῦ Θεοῦ οἰκτιρμῶν, ἐνθέου χρηστότητος ἀναβλυστάνεις κρουνούς, Σαμψὼν ἱερώτατε· σὺ γὰρ θεομιμήτῳ, ἐλλαμφθεὶς συμπαθείᾳ, ὤφθης τῶν τεθλιμμένων, καὶ πασχόντων ἀκέστωρ, παρέχων ἑνὶ ἑκάστῳ ῥῶσιν καὶ ἔλεος.

Ἡ ἐκτενὴς παρὰ τοῦ Ἱερέως καὶ

Ἀπόλυσις.

Μετὰ τὴν ἀπόλυσιν ψάλλομεν τὰ ἀκόλουθα τροπάρια.

Ἦχος β΄.Ὅτε ἐκ του ξύλου.

Μέγας ἰατρὸς ὑπὸ Θεοῦ τοῖς ἐν ἁμαρτίαις νοσοῦσιν, δοθεὶς, πανθαύμαστε, μέγιστον ἀνήγειρας νοὸς εὐθύτητι, ἰατρεῖον τοῖς κάμνουσιν, ἐν ᾧ πᾶς προστρέχων, ὅσιε κατώδυνος λύσιν κομίζεται πάσης ἀσθενείας καὶ πόνου, σὲ χρεωστικῶς μακαρίζων, πάνσοφε Σαμψὼν μακαριώτατε.

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δίστιχον.

Ὑμνῶ σε, Σαμψών, πίστεως θείοις λόγοις.

Χρῆστος.



Ο ΑΓΙΟΣ
ΣΑΜΨΩΝ
Ὁ ΞΕΝΟΔΟΧΟΣ
Κ ΜΥΡΟΒΛΗΤΗΣ

### Ημερομηνία Εορτής: 27 Ιουνίου

## Ἀπολυτίκιον

Ὁ φέρων τὴν μίμησιν, τῶν τοῦ Θεοῦ οἰκτιρμῶν, ἐνθέου χρηστότητας, ἀναβλυστάνεις κρουνούς, Σαμψῶν Ἱερώτατε, σὺ γὰρ θεομιμήτω, ἐλλαμφθεῖς συμπάθεια, ὤφθης τῶν τεθλιμμένων, καὶ πασχόντων ἀκέστωρ, παρέχων ἑνὶ ἑκάστω, ρώσιν καὶ ἔλεος.

Click here

### Ἀκούστε τὸ Ἀπολυτίκιο

## Λείψανα

Αποτμήματα του Ιερού Λειψάνου του Αγίου βρίσκονται στις Μονές Μεγ. Λαύρας Αγίου Όρους και Κρεμαστής Ηλείας.

Click here

### Ἀκούστε τὸν Βίο τοῦ Ἁγίου

### Προστάτης Ἅγιος τῶν Ξενοδόχων

Lorem Ipsum is simply dummy ever since the 1500s, when an unknown printer took a galley of type and scrambled

Click here